This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

With the Author's Compts.

GAISFORD PRIZE—GREEK PROSE, 1883.

'THE WANDERING JEW.'

BY

WILLIAM EDWARD LONG,

DEMY OF MAGDALEN COLLEGE.

Oxford:

B. H. BLACKWELL,

50 BROAD STREET.

930. f. 10 1883.

THE WANDERING JEW.

Τούτων δὲ τῶν αὐτῶν ὑπὸ Βρεταννῶν, ἐθνέος ἐόντος πάντων τῶνπερ ἡμεῖς ἴσμεν λογιωτάτου καὶ προσωτάτω οἰκέοντος, πολλοὶ καὶ θωμαστότατοί εἰσι λόγοι λεγόμενοι· τῶν τὸ μὲν πλῆθος οὔτι ἀξιῶ διεξιέναι, οἷά τε αἰνῶς φεύγων μακρὴν τὴν ἀπήγησιν ἀπηγέεσθαι. τὸν δὲ αὐτὸς πιστοτάτου τευ ἤκουσα λέγοντος τῶν οἰκητόρων, τοῦτον δηλώσω.

Πόλις τίς ἐστι, τῇ οὔνομα Οὐερούλυμα, περὶ μεσόγαιαν μάλιστα ταύτης τῆς χώρης οἰκημένη· ἐν τῇ τῷ ἐπιχωρίῳ θεῷ νηός τε καὶ ἄγαλμα καὶ βωμὸς κατεστέασι. ἐγὼ μέν νυν, ὡς ὁδοιπορέων ἐνθαυτοῖ τῆς γῆς ταύτης ἔτυχον ἀπικόμενος, οὔτε τῶν ἱρέων ἠμέλησα αὐτὸς τέ σφι καὶ πολλὸς χρησάμενος μῦθον τοιόνδε ἐπυθόμην, τοῦ μάλιστα, ὡς ἐγὼ νομίζω, μνήμην ἄξιον ἔχειν ἐστί. ἔφασαν ἱρέα τινὰ τριηκοσίοισι ἔτεσι πρότερον ἀπικέσθαι ἐς τὴν ἑωυτῶν, οὐκ ἐλαχίστου λόγου ἐόντα τῶν ἐν Ἀρμενίῃ πάντων. τοῦτο δὲ αἴτιον εἶναί μιν ἐλθεῖν, ὡς περιστρωφώμενος τά τε ἀγάλματα ἴδῃ καὶ τὰ ἱρὰ τῆς πόλιος· θεοσεβέστατον γάρ μιν εἶναι, κατάπερ αὐτὸν λέγειν. μεταξὺ δὲ ταῦτα σημαίνων—ἔφασαν λέγοντες—ἔδεξε γράμματα ἡμῖν, τὰ ἐκ τῶν λογιμωτάτων τῆς ἑωυτοῦ πάτρης ἀνδρῶν παρέλαβε, λέγοντα ὡς αὐτὸς ἄξιός ἐστι καὶ τὸ κάρτα γενέσθαι τίμιος. αὐτοὶ μὲν ὦν, εὖ μιν δεξάμενοι, πολλὰς ἡμέρας εὐωχέομεν. τόπερ

καὶ οἰκὸς ἔσκε ἱρέας Βρεταννοὺς ἐόντας ποιέειν, ὥς γε ἐμοὶ δοκέειν· ἐγὼ γὰρ κατὰ μὲν τἄλλα πάντα ἔθνεα, ἅτε αὐτόπτης γενόμενος, οἶδα νηστείῃσί τε καὶ ταλαιπωρίῃσι παντοίῃσι χρεωμένους τοὺς ἱρέας, κατὰ δὲ τὸ τῶν Βρεταννῶν ἔθνος οὐκ οὕτω ἔχει· οὗτοι γὰρ σιτοῖσί τε καὶ ποτοῖσι μεγάλως προσκέαται. τὸ δὲ τελευταῖον, ὥς μιν ὁ οἶνος ἐς παιγνίην ἀνῆκε, πολλὰ μὲν καὶ ἄλλα ἡμῖν ἐξηγέετο, ἐν δὲ δὴ καὶ τοιάδε, ἀξιαπηγητότατα ἐόντα· ἐπειρωτηθεὶς γάρ, εἴ τίς ποτε φήμη ἐς ὦτα ἔλθοι περὶ Ἰουδαίου τευ, τῷ Ἰωσὴφ οὔνομα, ἀντίον μὲν οὐκ ἔφη κω κατιδέσθαι, ἀκοῇ δὲ εὖ εἰδέναι. ἡμεῖς ὦν οἱ ἐνεκείμεθα ἐποτρύνοντες πάντα ἐπεξῆς δηλοῦν κατάπερ τὸ πρὶν ὥρα. καὶ ὃς οὐκ ἤθελε, λόγοισι οὔτ' ἀπειλητηρίοισι οὔτ' ἠπίοισι μεταβουλευσάμενος. τοῦτο μὲν δὴ τοιοῦτο ἔφασαν εἶναι. εἴτ' ὦν ἐψεύδοντο, εἴτε καὶ ἀληθές τι ἔνεστι τοῖσι εἰρημένοισι, εὔστομα κείσθω. ἐγὼ μέν νυν, οὔτε πιστεύσας τῷ μύθῳ οὔτ' ἀπιστήσας, ὅμως ἐδικαίευν τὸ πρῆγμα ἐπιδίζησθαι εἴ τι ἐνορῴην πλέον ἄλλοθέν κοθεν πυθόμενος. καὶ συνέβαινέ μοι ἱστορέοντι οὐκ ὀλίγῳ τεῳ μορίῳ—ὡς ἐμοὶ δοκέειν—τῆς ἀληθηίης ἐπιτυγχάνειν. ὁκόθεν δὲ μαθὼν γράφω ταῦτα, οὐκ ἄξιόν ἐστι καταλέξαι.

Νῦν ὦν ἀκοῇ οἶδα δυσμυρίοισι μάλιστα ἔτεσι προτοῦ σοφιστήν τινα παρὰ τοὺς Ἰουδαίους φοιτήσαντα· τὸν αὐτοὶ μὲν Ἰησοῦν ἐκάλεον, οἱ δ' ἀμφί μιν ἐόντες θεὸν ἐνόμιζον εἶναι. καί, περὶ γὰρ τούτου ἱρὸς λόγος ἐστὶ λεγόμενος, οὔτε προβήσομαι ἐς τὸ πρόσω τοῦ λόγου, ἔξω τε σιγήν, τοσούτου μούνου παραμνεώμενος ὡς οἱ Ἰουδαῖοι πάντων μάλιστα τῶν ἡμεῖς ἴσμεν ἀνθρώπων ψεύδεα μαντήϊα ἐκ-

τέαται· ὥστε ἥκιστα πιστότατοί εἰσι. τοῦτον δὴ τὸν Ἰησοῦν οἱ ἐπιχώριοι, ἐπεὶ λαβόντες τρηχέως κάρτα περιέσπον ἀεικείῃ, δι' ὧν ἐχρήσαντο τὸ τελευταῖον, ἐπ' οὐδεμίῃ ἄλλῃ αἰτίῃ πλὴν ὅτι τὸν λεὼν ἐποτρύνων ἐδόκεε κακοῦν τὰ κοινά. πρὶν δὲ τὸν αὐτὸν τοῦτον ζημιωθῆναι, ἐπελκομένῳ ὑπὸ τῶν Ἰουδαίων ἐπὶ τὸ δικαστήριον ἀνήρ τις θυρωρός, τῷ οὔνομα ἔσκε Καρτάφιλος, ὠνείδισέ οἱ τοῦ σχολαίτερα στείχειν πέρι, ἀσπαστῶς—ἅτε δημότης ἄνδρα δοκιμώτατον—λοιδορέων τε καὶ κακίζων μιν. καὶ ἄλλας τε λώβας ἐλωβήσατο, καὶ δὴ καὶ τοιήνδε· τύψας οἱ τὸ νῶτον τῇ χερὶ ταχύτερον ἐκέλευε πορευθῆναι. ὁ δέ, ἐπιστρεψάμενος καὶ μάλ' ἀγρίως τὸν Καρτάφιλον θηησάμενος, τοιάδε ἔφη· κῶς σὺ ἐμέ, ὦ δαιμόνιε ἀνδρῶν, συνταχύνειν κελεύεις; ἀλλ' ἐγὼ μέν, ἐπεὶ σὺ τοῦτο βούλεαι, ταχέως τοι πορεύσομαι. σὺ δὲ κατὰ χώρην κατάμενε, ἔστ' ἂν τῇδε αὖτις ἀνέλθω. ὁ μὲν δὴ τοιαῦτα ἀντὶ κείνων ἐκέλευε. ὁ δὲ Καρτάφιλος,—περιημέκτησε γὰρ τῇ μελλούσῃ οἱ συμφορῇ γενήσεσθαι,—κατέχεσκε τὸν Ἰησοῦν, ὅκως ἥδιόν τι ἔπος ἀκούοι. ὁ δέ, οὐδὲν πρὸς ταῦτα ἀμειψάμενος, ἐπορεύετο. τὴν μέν νυν πρώτην δεῖμα ἔλαβε τὸν Καρτάφιλον. ὕστερον δὲ ἐπιφρασθεὶς μηχανὴν τοιήνδε ἐμηχανήσατο· ἰὼν ἐς ἄνδρα τινὰ τῶν ἑωυτοῦ συγγενέων, Ἀνανίαν, ἐπειρώτεε εἰ πολλοὺς δέοι ἔτι ἑωυτῷ ἐνιαυτοὺς βιοῦσθαι. ὁ δὲ Ἀνανίας—ἀνὴρ γὰρ ἦν χρησμολόγος,—τὸν νεηνίην ἀμείβεται τοισίδε·

μέμνεο, παῖ, πλανέων Λαερτιάδεω Ὀδυσῆος.

ὁ μὲν δή, ταῦτα χρησμῳδέων, ἔδοκεε παίζειν· ὥστε κατόνετό μιν ὁ Καρτάφιλος καὶ ἐν οὐδεμίῃ μοίρῃ μεγάλῃ ἦγε τὸ χρηστήριον. κατὰ δὲ τὴν ἐμὴν γνώμην, προέδεξε ἀκρι-

βῶς τὰ μέλλοντά μιν καταλάμψεσθαι. τοῦτο μὲν δὴ τοιοῦτο ἦν.

Τῇ δὲ ἐν ἡμέρῃ ταῦτα ἐγίνετο, τριήκοντα ἤδη ἔτεα ἐγεγόνεε ὁ Καρτάφιλος· χρόνου δὲ πολλοῦ παρελθόντος κατεγήρα, ἐς ὅ, ἑκατονταετὴς γενόμενος, ἐπίδοξος ἔην ἀποθανέειν. καὶ συνέτυχέ οἱ ἐπὶ δίφρου ἑζομένῳ ὑπ' αὐτῇ τῇ αἰθρίῃ,—ἐφίλεε γάρ, ἅτε γέρων, ἡλίου ἐν οὐρανῷ καίοντος πρὸ θυρέων διατρίβειν,—ἐξαπίνης ἐν ὕπνῳ μεγάλῳ ἐνέχεσθαι, ὥστε καὶ τοῖσι συγγενέσι καὶ τοῖσι οἰκήτοισι τεθνεὼς ἐφαίνετο. καὶ οἱ μὲν δὴ ἐξ αὐτέων πένθος μέγα ἐποιεῦντο, κοπτόμενοι τὰ μέτωπα· οἱ δὲ κρέσσονες καὶ ἀνδρηϊότεροι ἔσαν, ἐκόσμεόν τε καὶ ἐθεράπευόν μιν, τὰ νομιζόμενα πάντα ποιεῦντες περὶ τὴν ταφήν. ἐν τῷ δὲ ταῦτα οὕτω ἐπρήσσετο, ὁ νεκρὸς αὐτὸς ἀνίστατο καὶ νεηνίῃ ὁμοίως κατέβαλλε τοὺς ἑωυτοῦ κηδομένους, ῥήματα τοιάδε ἀπορρίπτων· τεῦ εἵνεκα, ὑμέας γὰρ ὁρέω τὰ τῶν μαινομένων ἔργα πρήσσοντας, πειρᾶσθε ἐμὲ ζωὸν ἔτι ἐόντα γῇ κατακρύπτειν; ἀλλά τοι ὑμεῖς ἀντὶ τῆσδε τῆς ζημίης ἑτέρην τοιήνδε ζημίην ἀνταποδώσετε· ὡς γὰρ δίκαιον. καί, ἅμα λέγων ταῦτα, φερόμενος ἀΐσσει ἐς τοὺς περιεστεῶτας, ὁμοίως ὡς εἰ βούλοιτο κατακόπτειν. οἱ δέ μιν ῥήμασι μειλιχίοισι παρηγορέοντες μόγις κατεῖχον, τοιάδε λέγοντες· ἡμῖν μὴ σὺ ἐρεθίζων μέμφεο, ἀλλὰ σεωυτῷ μᾶλλον, ὅτι, ἐς τοσοῦτο γήραος ἀπιγμένος, αὖτις ἐς τὴν πάρος ἡλικίην εἶχες οὕτω ἀνέρχεαι. ἀλλὰ τόδε ἐκ θεοῦ ἂν ἔλθοι· ὥστε χρὴ στέργειν, μήδε τὰ ἂν οἱ δαίμονες σημαίνωσι, ταῦτα παριέντα ἐᾷν. οἱ μὲν δὴ ταῦτ' εἴπαντες τέλος ἀπέλυσάν μιν ἀπὸ τῆς ὀργῆς.

Ἕτερος δέ τις λόγος λέλεκται περὶ τούτου τοῦ πρήγματος,

τὸν ἐγὼ πολλάκις καὶ οὐκ ἅπαξ μοῦνον ἀκούσας οὔτε καταδέκομαι οὔτ' ἀληθέα ἄγω. ἀλλ' ὅμως, οἷα δὴ ἄξιον ἐόντα διεξελθεῖν, οὕτι φεύγω ἀπηγέεσθαι. λέγουσί μίν τινες τῶν περὶ τουτέων ἱστορίῃσι εὖ εἰδότων, ἐπεί τε ἐς τὴν ἐσχατὴν ἡμέρην δοκέειν οἱ ἀπῖχθαι, ἐς εὐχὰς τραπόμενον εἰρέεσθαι τοὺς θεοὺς κόσους ἔτι ἐνιαυτοὺς βιώσεται. τοὺς δέ οἱ ἔπεα τοιάδε αἰνίσσεσθαι· ὦ Καρτάφιλε, μόρσιμόν τοι ἔσκε πολλάς σε ἀνθρώπων γενεὰς ἐπορᾷν· ἀλλὰ σὺ μέμνεο ὅτι τούτου θανὼν κυρήσεις, ἄλλως μέντοι οὐδαμῶς. ἐπεί τε δὲ ἤκουσε ταῦτα,—ἔφασαν λέγοντες,—ἐν θώματι ἐνεχόμενος ἔπεσέ τε ἐς γῆν καὶ χρόνον τινὰ διετέλεε τεθηπότι ὁμοῖα πάσχων. τὸ ὦν τελευταῖον ἐκ πέδου ἀνορθωσάμενος ἑστήκεε, νομίζων τοῦδε εἵνεκεν ῥώμην οἱ καὶ κράτος νέον ἀπὸ θεοῦ δεδόσθαι ὅκως ἔργον τι μέγα διαπράξηται πρὶν ἀποθανέειν. (ὡς δὲ ἐμοὶ δοκέειν, ὅκως νεηνίης αὖτις γενόμενος ποινὴν ἀντὶ κερτόμων ἐπέων ἀποδῷη.)

Ἐπεὶ ὦν ἤδη ὥρα διαβιωτέον οἱ εἶναι, ἐδόκεε πᾶν ἐπιλεξαμένῳ περιστρωφᾶσθαι πάσην τε τὴν Ἰουδαίην καὶ τὰ προσεχέα πάντα ἔθνεα· οὕτω δὴ περιαγγέλλειν τὰ γεγονότα. ἐπεὰν γὰρ τῶν Ἰουδαίων τουτέων ἐξ ἀσθενέος τις ὑγιὴς τυγχάνῃ γεγενημένος, τότε εὐθὺς σημαίνει τοῖσι περιοίκοισι καὶ συγγενέσι καὶ οἰκήτοισι· οἱ δέ, τῷ μὲν ἑωυτῶν λόγῳ, ἀγάλλονται τῇ συμφορῇ, ἀληθέϊ δὲ λόγῳ, ὡς ἐγὼ νομίζω, περιημεκτέουσί τε καὶ δυσχεραίνουσι, τοῦ ἀνδρὸς ὑγιέος γεγονότος· φιλέει γὰρ τὴν σωτηρίην ἀγγέλλειν, ὡς ἑωυτῷ θείῃ τύχῃ γενομένην, οὕτω μεγάλῃ φωνῇ χρεώμενος, ὥστε οἱ ἀκούοντες καταλείπουσι τὸ χωρίον ὅκου δὴ καὶ ἐξαΐσσοντες χερσὶ ἀποκληΐζουσί σφι τὰ ὦτα, βουλόμενοι τήν τε

βοὴν καὶ τὸν πάταγον ἐκφυγέειν· οὐδαμῆ μέντοι δυνέαται. τοιούτῳ χρέωνται νόμῳ οἱ Ἰουδαῖοι, πάντων—ὡς ἐμοὶ δοκέειν—ματαιοτάτῳ ἐόντι, ὅσῳπερ καὶ πάντων ἥκιστα τοὺς χρεωμένους ὠφελέει. διὰ δὲ τί τοιαῦτα νομίζουσι ποιέειν, οὐκ ἔχω ἀτρεκέως εἶπαι, τοῦτο μοῦνον εἰδὼς ὅτι Ἰουδαίοισι πάντων τῶν ἡμεῖς ἴσμεν ἀνθρώπων μωρίη ἔνεστι πλείστη.

Ὁ δὲ Καρτάφιλος πολλὰ μὲν ἔτεα ἀνὰ τὴν Ἰουδαίην ἐστροφέωτο, πολλῶν δὲ ἐπεκύρεε παθημάτων· τῶν τὸ μὲν πλῆθος ἀνήρ τις λογοποιὸς συγγραψάμενος ἐποίησε—ὡς συμβαλλεόμενος νομίζω—τὰ ἑωυτῷ ἦν ἐν ἡδονῇ· τὸ δὲ ἐξ αὐτέων τεκμηρίῳ πιστῷ πυθόμενος οἶδα, τούτου ἐπιμνήσομαι. καί μοι διεξιόντι τὸ πρῆγμα παρά τε θεῶν καὶ ἀνθρώπων εὐμένεια ἔστω. ἐλθὼν γάρ, ὡς ἔτυχε, ἐς πόλιν τινὰ τῶν Φοινίκων—τῆς τοὔνομα εὖ εἰδὼς οὔκων δικαιῶ καταμηνύειν—ἐδίζητο ἔνθα καὶ ἔνθα, εἴ κως πανδοκεύσοντί τεῳ τῶν ἀστῶν συντύχοι. ἐπεί τε δὲ πάντα ποιεύμενος οὐδὲν ὠφελέετο, ἀλλ' ἐς ἀπορίην μᾶλλον κατίστατο, τέλος ὧν ἐς οἴκημά τι γέρροισι πάντη μακροῖσι περιπεφραγμένον ἐσέδυνε, ἅτε πάντων ἐὸν ἔρημον. ὁ μὲν δὴ ἐσέρχεται, καὶ ἐξαπίνης βροντή τε καὶ ἀστραπὴ ἐξ οὐρανοῦ ἀνὰ τὴν πόλιν γίνεται, ὥστε τοὺς ἄνδρας τῆς πόλιος θώματι καὶ φόβῳ λελαμμένους ἐς εὐχὰς τραπέσθαι, Ἡρακλέα μάλιστα ἱλασκομένους· οὗτος γὰρ ὁ ἐπιχώριός σφι θεὸς νενόμισται. καί, ἅμα λιτῇσι γινομένῃσι, νέον τι θῶμα ἐφαντάζετό σφι· ἐξ οἰκίης, ἐν τῇ καθεῦδε ὁ Καρτάφιλος, φωνὴ ἐγένετο· ὁ δὴ πᾶς ὅμιλος τῶν πολιητέων φερόμενος ἤϊσσε ἐπὶ τοῦ χωρίου· τῶν δὲ ἀπικομένων τὴν μὲν πρώτην οὐδεὶς ἤθελε ποιέεσθαι ἔσοδον· χρόνου δ' οὐκ ὀλίγου ἀναισιμωθέντος νεήνιαι δύο,

αὐτοὶ ἑωυτῶν ἐόντες ἀνδρηϊότεροι, ἐπεὶ τὰς θύρας ἀνέκλιναν, δειμαίνοντες καὶ τρέμοντες ἐσήϊσαν. τοῖσι δὲ ἤδη ἐνεοῦσι θώματα φοβερὰ ἦν κατορᾷν καὶ ἐς δεῖμα φέροντα. ἔλεγον γὰρ πυρκαϊήν σφι ἀναφαίνεσθαι· ἐν μέσῃ δὲ τῇ πυρκαϊῇ τὸν Καρτάφιλον ἰδέειν κατήμενον, ἀσινέα τε καὶ ζωὸν ἐόντα· πρὶν δὲ δὴ λαβέειν δύνασθαι, ἐξολισθάνειν σφι ἀπὸ τῶν χερῶν· οὕτω ἀφανισθῆναι. οἱ δὲ δύο, φέροντες ὡς ἡδυνέατο μάλιστα τὴν ὄψιν, τέως μὲν ἔνδον διέτριβον· χρόνου δὲ οὐ μακροῦ διελθόντος, ἐξ ὧν τῆς οἰκίης ἀνεχώρεον ὀπίσω. ἐξελθόντες δέ, διὰ σημηΐων,—φωνὴν γὰρ οὐδεμίην οἷοί τε ἔσαν ἱέναι,—τοῖσι ἔξω ἑστεῶσι τὴν ὄψιν ἔφραζον. ἕως δὲ οὕτω κατηγγέλλετο τὸ πρῆγμα, ἐξαπίνης ἀνήρ τις ἐκ τοῦ λαοῦ ἐπιστρεψάμενος λαμπάδα οἱ ἐδόκεε κατὰ νώτου ἐσορᾷν ἐξ ἄκρου τοῦ Ἡρακληΐου ἠρτημένην. τοῖσι ὦν ἄλλοισι ἐπεί τε ἐσήμηνε τὸ χρῆμα, ὁ πᾶς λεὼς ὀπίσω αὖτις φερόμενος ἐγγύτερον προσήϊε, ὡς θεησόμενος τὸ τέρας. θηευμένοισι δὲ φωνὴ ἐξ οὐρανοῦ, οἷα κραυγανομένου τευ, ἐγένετο, ἔπεα τοιάδε ἀπορρίπτουσα· ὦ παῖδες ἐπήμεροι, ὑμεῖς μὴ τωυτὸ ἐμοί, τῷ ὑμετέρῳ προγόνῳ, πάθητε· οὐ γὰρ ἄμεινον. ἐπεί τε δέ σφι ἐπαΐουσι τῆς φωνῆς οὐδὲν ὧν ἦν ἰδέσθαι, συμβαλλεόμενοι εἴκαζον Ἡρακλέα εἶναι τὸν φωνῇ ἀνθρωπηΐῃ οὕτω σφι αὐδαξάμενον· οὐδεὶς γὰρ τὸν λέγοντα ὥρα. ἀληθέϊ δὲ λόγῳ, κατὰ γνώμην τὴν ἐμήν, ὁ Καρτάφιλος ἔην αὐτὸς ὁ ταῦτά σφι φωνέων. ὅκως δὲ ἠδύνατο ἐς τὰ τοῦ ἱροῦ ἄκρα ἐπικέσθαι, οὐκ ἔχω ἀτρεκέως φράσαι· οὐ γὰρ αὐτὸς ὅρεον. ἀρκείτω μοῦνον ἀληθὲς ἐὸν πᾶν ὅ τι ἂν λέγω. τοῦτο μὲν δὴ τὸ θῶμα τοιοῦτο ἔσκε. καὶ δὴ πολλὰ καὶ ἄλλα ἐστὶ θώματα λεγόμενα, τὰ ἐγὼ μὲν

οὐκ ἀξιῶ ἐξηγέεσθαι, ἅτε πάντα αἰεὶ ποιεύμενος ὅκως ἂν τήν γε ἀληθηίην πάσην ἀνευρίσκω. εἰσὶ δὲ οἱ ἐθέλουσι λόγους ματαίους καὶ ἄνευ τεκμηρίων πιστῶν λεγομένους πρὸ αὐτῆς τῆς ἀληθηίης καταδέκεσθαι. οὕτω δὴ τὰ ψεύδεα, ὡς ἐπίπαν, φιλέει πιστευθῆναι. δίκαιον μέντοι ἐστὶ φράζειν, ὅτι ἄλλως κως κατὰ γνώμην, ἢ λογοποιός τις ἀνήρ, ἔγωγε ἔχω. ὁ μὲν γὰρ ἔξαρνός ἐστι μὴ δύνασθαι ἀνθρώπους γε ἐς τοσοῦτο γήραος ἐξικέσθαι. ἀλλά τοι, ὡς ἐγὼ ἐν τῷ περὶ Γετῶν λόγῳ διέδεξα, εἰσὶ οἵ, καὶ ἀθάνατοι—ὡς οἴκασι—ἐόντες, ἔτι ζώουσι. κῶς δ' οὐκ ἂν οἱ θεοὶ ἐθέλοιεν μηκύνειν τὴν ζόην τοῖσι ἀνθρώποισι; οὔκων οὕτω θωμαστὸν ἂν εἴη, εἴ τις καὶ ἄνθρωπος ἐὼν μυρία ἤδη ἔτεα ἢ καὶ δισμυρία γεγονὼς εἴη.

Τοιαύτην μὲν δὴ τοῦ λόγου παρενθήκην ποιησάμενος αὖτις τὰ τὸν Ἰουδαῖον τοῦτον καταλαβόντα ἐξηγήσομαι. τίσι δὲ συμφορῇσι ἐχρέετο, ἐπεί τε ἠφανίσθη ἐκ τῆς Φοινίκων πόλιος, οὐκ ἔχω ἀτρεκέως εἶπαι, οὐδ' ὧν οὐδὲ συμβάλλεσθαι. ἀλλὰ τοσοῦτό γε οἶδα, ὡς τὸ τελευταῖον ἐν πολίσματί τεῳ τῶν Κελτῶν ἀνεφαίνετο· ἔνθα δὴ καὶ φανερῶς μιν ἐδέκοντο οἱ προεστεῶτες τῆς πόλιος, ὥστε μηδένα τῶν πολιητέων ἀγνοέειν τὸ πρῆγμα καθὰ καὶ ἐγένετο. τοῦτο μὲν γάρ, ἔτυχε ἱρεύς τις τῶν ἱρεωμένων τῆς ἐπιχωρίης θεοῦ προκηρύσσων τῷ δήμῳ (κατάπερ οἱ ἐνθάδε νομίζουσι· τῇ γὰρ περὶ τὰ ἱρὰ θρησκηίῃ κάρτα προσκέαται οἱ Κελτοὶ) ὅσας ἀπὸ δαιμόνων εὐεργεσίας λαχόντας ὅσην δέοι χάριν εἰδέναι. τοῦτο δέ, ἕως τάδε τὰ ἔπεα ἵησι, ἐσέρχεται ὁ Καρτάφιλος ἐς τὸν χῶρον ἐν τῷ οἱ ἄνδρες κατέαται, αὐτὸς ἑωυτοῦ μοχθηρότερος ἐὼν ἐσορᾷν. τοῦ γὰρ ἀμφ' ὤμους

χλανίδιον ἀπεσχισμένον τε καὶ τετριμμένον, τόπερ ἡμεῖς βαίτην καλέομεν, ἐβέβλητο· τὰ δὲ σκέλεα ἀναξυρίσι σκυτίναισι κατειλίχατο, τῇ Περσικῇ ὁμοῖα ἐσθῆτι. περὶ δὲ κεφαλὴν πίλος ἦν θεσπέσιον ὡς ἄνευ τέχνης ἐρραμμένος. καὶ δὴ καὶ αἱ ἐν τῇ κεφαλῇ τρίχες ἁλέες τε καὶ δασέαι συμπεπλέχατο· τοῦ δὲ ἦν ὁ πώγων μέγας καὶ ἀμφιλαφής, ὥστε τρέμοντα τὰ παιδία καὶ κραυγανόμενα ὑπὸ δείματός τε καὶ θώματος ὀπίσω ἐς τὰς μητέρας ὡς ἐπ' ὠφελίῃ ἀΐσσειν. ἐπεὶ δὲ τοῦ λόγου καταπαυσάμενος ὁ ἱρεὺς τοὺς δημότας ἀνέηκε, εὐθὺς φέρονται πάντες οἱ πολιῆται ἐς τὸ χωρίον ἐν τῷ ὁ Καρτάφιλος θηεύμενος κατεστήκεε, ὡς εἰρωτήσοντες τίς τ' εἴη καὶ κόθεν ἥκων κοίην τινὰ ἀγγελίην φέροι. ὁ δέ σφε ἄνευ φόβου ἐσώρα—πολλὰ γὰρ ἤδη ἀνθρώπων ἤθεά τε καὶ νόμους ᾔδεε, οἷα αὐτόπτης γενόμενος. οὕτω δὲ σιγῆς ἐούσης, ἄγειν ἑωυτὸν ἐκέλευε ἐς τοὺς ἄρχοντας, ὡς νέον τι σημανέων· τόπερ καὶ πολλόν,—ἔφη λέγων,—ὠφελήσει τὴν ὑμετέρην πόλιν. οἱ μὲν ὦν μεταπέμπονται τοὺς προεστεῶτας τοῦ ξυνοῦ. οἱ δέ, ἐπεὶ τάχιστα ἀπίκοντο, ἄνωγόν μιν εἶπαι ὅ τι ἐς θυμὸν μάλιστα βάλλοιτο, εἴτε λυγρὸν εἴτ' ὦν ἡδὺ ἐὸν ἀκοῦσαι. τότε δὴ ὁ Καρτάφιλος τέως μὲν ἐν φροντίδι ἐγίνετο, κατάπερ εἰ ἀπορέοι ὅκως τοῦ λόγου ἄρξεται. ὕστερον δέ, θάρσεος οἱ προσγινομένου, λέγει τοιάδε· ὦ ἄνδρες τῆς πόλιος ταύτης, εὖ γὰρ ὑμέας διακειμένους ὁρέω πρὸς ἐμεωυτὸν καὶ φίλια φρονέοντας, τὴν ἀληθηΐην πάσην ἀναφανδὸν ἐρέω. ἐγὼ πολυπλάνητος γενόμενος, τὰς ὁδοὺς ἤδη ἥκω ἀνύσας πολλὰς ἐούσας, ὑμῖν βούλομαι ἐξηγέεσθαι. καὶ εὐμένειά μοι εἴη παρ' ὑμέων μηκύνοντι τὸν λόγον. τὰ γάρ τοι μέγαλα πάθεα οὐ συντόμου δεῖ ἀπηγήσιος ἀπηγέ-

εσθαι. ὑμεῖς γὰρ αὐτοὶ ἀκοῇ εὖ ἴστε τὰ τῷ Καρταφίλῳ συνέβη παθέειν ἔν τε τῇ Ἀρμενίῃ καὶ Συρίῃ καὶ Ἰουδαίῃ καὶ πολλοῖσι ἄλλοισι χωρίοισι, ὥς τε παντοδαπὰς ὑποδὺς ἰδέας πολλὰ μὲν τῶν προσωτέρω οἰκημένων, πολλὰ δὲ καὶ τῶν ἐγγύτερον ἔθνεα δολώσας ἦγε· τὸ δὲ τελευταῖον, κατὰ θωμαστότατον πάντων τρόπον, ἠφάνισε ἑωυτόν. τοιαύτη δὴ ἡ αὐτόθι φάτις ἔσκε. περὶ δὲ τῶν ἐπιγινομένων οἱ παθημάτων οὐδεὶς ἠδύνατο οὐδὲ συμβάλλεσθαι. ἐγὼ ὦν, ἅτε πᾶν εὖ εἰδώς, ὑμῖν σαφηνέως ἔρχομαι ἐρέων. ἐγὼ γὰρ αὐτὸς ὁ Καρτάφιλός εἰμι. καὶ ὑμεῖς μήτι θωμάσητε· ἀλλά, διεξιόντος μευ τὸ πρῆγμα, ἡσυχίην ἄγετε· ὡς γὰρ ἄμεινον. ἐπεί τε γὰρ τάχιστα τὰ Οὐερούλυμα κατέλιπον, τῆς περὶ πόλιος οὐκ ἅπαξ μοῦνον ἀκηκόατε, ὑπ' ἀνέμου ἀΐσσων ὁδὸν ταχυτέρην ἢ κατ' ἄνθρωπον ἐποιησάμην, ἐς ὃ πρὸς μεσαμβρίην φερόμενος πολλὰς ἡμέρας τε καὶ εὐφρόνας (τῶν ἀριθμὸν ἀμήχανον ἔην ποιέεσθαι), τέλος ἀπικνέομαι ἐς πεδιάδα τινὰ τῆς Λιβυκῆς, ὡς οἶκε, χώρης, ἀνδρῶν τε ψιλὴν ἐοῦσαν καὶ φυτῶν, ὥστε μηδέν κου ἐδώδιμον φαίνεσθαι. ἐνθαῦτα δὴ τὴν μὲν πρώτην πάντη ἐδιζήμην, εἴ κως ἴχνεά τινα ἀνθρωπήϊα κατορέοιμι. ὡς δέ μοι ἐρευνέωντι οὐδὲν ἦν ἰδέσθαι πλὴν ἢ τὴν ψάμμον ἢ ἀμφοτέρῃ συννενέατο, εὐθὺς ἐς ἀπορίην ἀπειλημένος κατεζόμην· οὕτω δὴ ἐπιφρασθεὶς σωτηρίην τινὰ ἐμηχανεώμην τοιήνδε· ῥάκος λίνεον σκήπτρῳ χειροποιήτῳ προσάψας καὶ αὐτὸς ἀναβὰς ἐς χωρίον τι ἐς τὰ μέγιστα ὕψος ἀνῆκον, τὸ σκῆπτρον ἔνθα καὶ ἔνθα ὑψοῦ ἐκίνεον. καὶ ταῦτα χρόνον οὐκ ὀλίγον ποιέων μάτην διετέλεον. ἅμα δὲ τούτοισι γινομένοισι, φωνὴν ῥήξας ὡς ἠδυνάμην μεγίστην ἔβωσα ἐπ' ὅσον κράτος

εἶχέ μοι. χρόνου δὲ μακροῦ παρελθόντος, φέρειν οὐκέτι οἷός τ' ἔην, ἀλλὰ τῶν τε χερῶν καὶ τῶν σκελέων ὑπ' ἀσθενείης ἐμὲ ἀνιέντων, ἐν ἀναγκαίῃ μεγάλῃ ἐνεχόμενος οὐκ ἀντέτεινον, ἀλλ' εἶκον· οὕτω κλαίων καὶ ὀδυρόμενος σῶμα ἐς πέδον κατίημι, προσδοκέων οὐ μετὰ πολλὸν χρόνον ἀπολέεσθαι. καὶ, τοῦτο μέν, ἔτυχον ἐς θυμὸν βαλλόμενος ὅκως τῶν παρεόντων κακῶν ἀπαλλαγήσομαι· τοῦτο δέ, ὁρέω τινὰ προσερχόμενον, μάλ' ἀξιοθέητον ἐόντα. τοῦ γὰρ ἀμφὶ κεφαλὴν ἱμάτιον ἀμφιβέβλητο, τῇ γυναικηΐῃ πεποιημένον προσφερὲς ἐσθῆτι. ἔσαν δὲ οἱ πόδες οἱ σανδαλίοισι ὑποδεδεμένοι παραπλησίοισι μέν, ἐπ' ὅσον ἦν κατιδέσθαι, τῇσι Περσικῇσι ἐμβάσι, μέζονας δὲ τοὺς ἱμάντας ἔχουσι. ὁ μὲν δή, ἀντιάζων ἐμὲ τὸν ἐπιόντα, φιλίοισι προσεδέκετο ῥήμασι, καὶ πρόσωθεν ἀσπαζόμενος τοιάδε ἔλεγε· ὦ ξεῖνε, σὲ γὰρ ὁρέω φθίνοντά τε καὶ μόρῳ τῷ πάντων κακίστῳ εἴκοντα, ἔσιθι ἐς τὸ ἡμέτερον οἴκημα. οὐ γὰρ πολλὸν ἀπέχον κέεται. καὶ μήτι θῶμά σε λάβῃ ἄνδρα ζωὸν ὁρέοντα ἐν τῇδε τῇ χώρῃ ἐρήμῳ ἐούσῃ. ἐνθαῦτα γὰρ οἰκέουσι οἱ Τρωγλοδύται κεῖνοι οἱ ἀνὰ πάσην τὴν οἰκεομένην οὐνομαστοὶ ἐόντες· οἵ, θεῷ σφεας παραδόντες, ἄλλας τε θρησκηΐας ἐπιτελέουσι μυρίας, καὶ δὴ καὶ νηστείας ἀνάγουσι πολλὰς ἀνὰ πᾶν ἔτος. τῶν δὴ ἔγωγε εὔχομαι εἶναι. ἐγὼ ὦν ἀρεσκόμενος τῷ ἀνδρὶ εἰπόμην ἐκ τοῦ χωρίου. ὁ δέ, αἰεὶ ἐς τὸ πρόσω ἐξηγεύμενος, ἐς οἴκημά τι ὑπόγαιόν ἐμε καταφέρει θύρῃσι καρτερῇσι εὖ συγκεκληϊσμένον, ὥστε μηδένα κληΐδα μὴ ἔχοντα δύνασθαι ἐσιέναι. ἐσελθὼν δὲ θῶμα πάντων, τῶν ἐγὼ ὄπωπα, μέγιστον θηέομαι. ἀγάλματα γὰρ ὁρέω παντοδαπὰ πάντων τῶν θεῶν τε καὶ ἡρώων ἐν τοῖσι μύχοισι ἐνεστεῶτα· ὅτευ δ' εἵνεκα

τόσους ἀνδριάντας εἶχε, οὐκ ἔχω σαφηνέως εἶπαι, τοσοῦτο μοῦνον μαθὼν ὅτι ἐν μεγίστῃ πάντων τῶν ἡμεῖς ἀκοῇ ἴσμεν ἀνθρώπων μοίρῃ οἱ Τρωγλοδύται τὰ ἀγάλματα ἄγουσι, οὐκ ὁμοῖα τοῖσι Πέρσῃσι τάδ' ἐπιτηδεύοντες. οὗτοι γάρ, ὡς ἐν τῇ ἀρχῇ διέδεξα, τὰς εἰκόας πάσας ὁμοίως κάρτα ὄνονται. ἐγὼ μὲν δή, ἐπεί τε πάντων τῶν ποιημάτων θεωρίην ποιησάμενος ἀπεθώμαζον καὶ ἐξεπλησσόμην, εἰρώτεόν μιν τίς ἀπὸ τούτων ὠφελίη ἐπίδοξος εἴη γενήσεσθαι. ὁ δὲ γελάσας ἀμείβεται τοισίδε· ἦ κου σὺ νῦν, νεηνίης ἐών, οὐκ ἐπύθου κω περὶ Ἰησοῦ τοῦ Ἰουδαίου· τὸν πολλαὶ ἤδη γενεαὶ ἀνδρῶν γεγόνασι τοῖσι Ἰουδαίοισι αἰσχίστῳ θανάτῳ ζημιώσασι. τοῦτον ὦν τὸν αὐτὸν ἐγὼ ἐν πλείστῃ τιμῇ ἔχων, ταῦτα νομίζω θρησκεῦσαι. τὸ δὲ σὺ ὁρέεις ἐπ' ἀριστερὰ κειμένον ἄγαλμα, τοῦτ' ἴσθι κείνῳ ἑστεός. τότε δή, παρακλίνας τοὺς ὀφθαλμούς, θεωρέω τε τὸ ἄγαλμα καὶ προσπεσὼν τέως μὲν προσκυνέω. μετὰ δέ, ἀναστὰς σημαίνω οἱ πάντα τὰ ἐμὲ καταλαβόντα, ὡς αὐτὸς ἔα ὁ πλεῖστα ὀνειδίσματα τῷ Ἰησῷ ὀνειδίσας, ὥς τε ὑπὸ κείνου μεμφθεὶς ποινὴν ἔλαβον τὴν πασέων βαρυτάτην, ἀλᾶσθαι πάσας μὲν ἡμέρας, πάσας δὲ νύκτας, μήτε γηράσκοντα, μήτε δυνάμενον μόρῳ τοῖσι ἄλλοισι βροτοῖσι τωυτῷ καταχρήσασθαι, ἀλλ' αἰεὶ στένοντά τε καὶ ὀδυρόμενον, οἷα δὴ τὸν πεπρωμένον ἐτέων ἀριθμὸν ἐπιτελέοντα. ὁ μὲν δή, κατοικτείρας ἐμέ, ἐκέλευε θαρσέειν· ἤτοι γὰρ θεῷ κατευξάμενον καὶ καταθύσαντα ἀπαλλαγὴν τῶν παρεόντων κακῶν καταλάμψεσθαι ἢ ἱρὰ ἔρξαντα καὶ τὰ νομιζόμενα πάντα ποιήσαντα νόον γε ἥσυχον τὸ λοιπὸν ἔχοντα βιώσεσθαι. ἐγὼ δὲ πρὸς ταῦτα ἀμείβομαι τοισίδε· ὦ γέρον, οὐκ οὕτω ῥηϊδίως ἔχει πένθος μέγα καθιέναι·

ὁκόσα γὰρ ἐμὲ κακὰ ἤδη καταλελάβηκε, οὔτις ἀνθρώπων, ἐπιστήμων περ ἐών, οἷός τ' ἂν εἴη ψήφοισι λογιζόμενος ἀριθμῆσαι. οὐδὲν ὧν θῶμά ἐστι εἰ τοσοῦτο πλῆθος κακῶν ὑπομείνας τοσαύτην καὶ λύπην ἔχω. καὶ ταῦτ' εἶπας ἀπηλλασσόμην ὀπίσω ἐκ τῆς ἐρημίης, ὡς ἐς τὴν οἰκεομένην ὁδοιπορήσων. ὁ δέ, ἐπεὶ κατεῖδέ με τὰ ἔπιπλα πάντα σάττοντα ἐπ' ὤμους ὡς ἐπ' ἐξόδῳ, τέως κατέρυκέ τε καὶ κατίσχε, ἕως δαῖτά μοι πορσύνας καὶ ἐς κοίτην κατακλίνας εὐωχέοι. τέλος δέ, ἐπεί με ἐδείπνισε, ἔα ἀπιέναι.

Καὶ τὴν μὲν πρώτην ὁδὸν ἄστροισι διορθώσας, ἐς βορέην ἤϊα, τὴν σπειρομένην διζήμενος χώρην. τέλος δὲ ἐς τὴν Μαρμορικὴν ἀπικνέομαι, Αἰγυπτίοισι προσεχέα ἐοῦσαν. καὶ ἐνθένδε, ὡς ἠδυνάμην τάχιστα, ὡδοιπόρεον ἐπὶ τῆς Ἰουδαίης, ἱμειρόμενος τὴν πάτρην αὖτις ἐπορᾷν πρὶν δὴ ἀποθανέειν ἢ ἐκ γῆς παντελέως ἀφανισθῆναι. καὶ ἤδη ἔτυχον ἐλθὼν ἐς Ἑβρών, πόλιν οὐ πολλὰ στάδια ἀπέχουσαν ἀπ' Ἱεροσολυμῶν, καὶ ἀγγελίη μοι ἦλθε τά τε Ἱεροσολυμὰ αὐτὰ πολλοῦ ἤδη χρόνου κεραϊσθῆναι, καὶ αὐτοὺς ἀνὰ τὰς περιοίκους χώρας διασκεδασθῆναι. καὶ ταῦτ' ἀκούσας τὴν μὲν πρώτην οὐκ ἤθελον πιστεῦσαι. ὕστερον δέ, αὐτόπτης γενόμενος, μηχανὴν οὐδεμίην εἶχον μὴ οὐκ ὁμολογέειν τοῖσι ἀγγελιηφόροισι. ἐπεί τε γὰρ ἀπ' Ἑβρὼν ἀπαλλαχθεὶς ἐς Ἱεροσυλυμὰ ἀπικόμην, πάντα ὥρα ἐόντα κατὰ τὰ ἐλέγετο. τὸ γὰρ ἱρὸν τὸ τῶν Ἱεροσολυμιτέων, τὸ τῷ ἐπιχωρίῳ θεῷ ἀνέστησαν, τεθραυσμένον τε καὶ διαπεφορημένον ἔκειτο· οὐδὲ τῶν τειχέων οὐδ' ἓν ἔτι σῶον ἦν ἰδέσθαι· τοῦ δὲ αἵ τε στέγαι καὶ αἱ θύραι κατ' ἄκρης ἀφανέες ἔσκον. λίθος δ' οὔτις τῶν τὸν νηὸν περιεχόντων οὔτ' ὀρθὸς ἔτι ἵσταο οὔτ'

ὧν ἦν περιεών. ἐγὼ ὤν, οἷα λυπεόμενος τῇ ὄψει, οὐκ ἠδυνάμην οὔτε κλαίειν οὔτ' ἀναστενάζειν. ὕστερον δέ, θαρσήσας ἤδη, τούτου πέρι ἐλογιζόμην, ὅκως Ἱεροσολυμά, πόλις οὐδεμίης ἐλάσσων, ἐς τοσοῦτο ὀλέθρου καὶ φθορῆς ἀϊστωθέντα ἀνήκει. τοιαῦτα δή μοι ἐπιλεγομένῳ ἀνήρ τις χαλκεύς, ὡς ἔην ἀπό γε προσώπου εἰκάσαι, ἀντιάζων ἔλαβέ τέ μου τὴν χέρα καὶ ἀσπαζόμενος τοιάδε ἔλεγε· κῶς σὺ δή, ὦ δαιμόνιε ἀνδρῶν, κατάπερ εἰ μαίνοιο, τέθηπας ὁρέων ὅ τι ἂν καὶ ὁρέῃς; ἦ γάρ τοι ἔρημός ἐστι ἡ χώρη· ὥστε οὔ σοι θώματος ἀξίη οὐδ' ὧν θέης ἐστι τυχέειν. ὁ μὲν δή, τάπερ καὶ νόεε, ἔλεγε. ἐγὼ δὲ ὑποκρινόμενος ἀμειβόμην ὧδε· ματαιότερόν τοι ἂν ἔργον ἀνύοιμι, εἰ, ὅμως καὶ πόλιν εὖ εἰδὼς διαπεφορημένην, ἐν πένθεϊ μεγάλῳ ἔτι κατίζοιμι. νῦν δέ, μακρὴν ποιησάμενος ὁδόν, οἴκαδε αὖτις φέρομαι· ὥστε, ἀγνοέων τὰ μεταξὺ ὑμῖν γενόμενα, πάντ' ἀπὸ σοῦ ἡδέως ἂν ἀκούσαιμι, καθὰ καὶ συνέβη. τὸ δὲ ἀπὸ τοῦδε, θωμαστοτάτους ἔρχομαι λόγους καὶ αὐτός σοι ἐρέων. καὶ πρῶτον μέν, δίδασκέ με, τίνες εἰσὶ οἱ κεραΐζοντες τὴν πόλιν· ὕστερον ἐπεξῆς ἐξηγεόμενος φράσον ὅκοι γῆς τοῦ ἡμετέρου λαοῦ ἀφάνισις γέγονε. τοιαῦτ' ἐμὲ εἰρωτεῦντα ἀμείβεται τοισίδε· ὦ 'δελφέε, ὁρέω γὰρ σὲ τῆς αὐτῆς ἡμῖν πατριῆς γενόμενον, τοιοῦτο ἔην τὸ πρῆγμα, ὡς ἐμοὶ ἱστορέοντι διέδεξε πατήρ. Ῥωμαῖοι ἐλθόντες ἐς τὴν ἡμετέρην ἄγον καὶ ἔφερον τοὺς περιοίκους πάντας. τέλος δὲ πρὸ Ἱεροσολυμῶν αὐτῶν στρατηλατήσαντες προκατίζοντο. ἐπ' ὅσον ὧν χρόνον σῖτα καὶ ποτὰ παρείχετο ἡ πόλις, τοσοῦτον δὴ οἷοί τ' εἰμὲν χρόνον ἀπαμύνεσθαι. τὸ δὲ ἀπὸ τοῦδε, οὐδένος ἔτι περιεόντος ἐδωδίμου, ἐς ἀπορίην μεγάλην ἤδη ἀπειλεόμεθα.

δεινῶς δ' ὑπ' ἀναγκαίης ἡμέων πιεζομένων, ἔτλησαν καὶ τὰ παιδία ἐσθίειν αἱ μητέρες. οὕτω δὴ βεβωμένη ἀνὰ τὴν Ἰουδαίην καὶ οὐνομαστὴ ἡ πολιορκίη ἐγένετο. τέλος ὦν, οὐδεμίης μηχανῆς ἐούσης μὴ οὐκ ἡμέας ἐνδιδόναι, τοῖσι πολεμίοισι ὑπείκομεν τοῦ χωρίου. τοιούτου δὴ παθήματος τῇ ἡμετέρῃ πόλι προσπεσόντος, τοιαύτη τοι ὄψις τό γε νῦν φαίνεται. ὁ μὲν δὴ οὕτω τὰ τὴν πόλιν καταλαβόντα λόγῳ ἀπέφαινε. ἐγὼ δὲ ῥῆμα οὐδὲν ἀμειψάμενος κατέβαινον ἐξ οὔρεος, εἴ κου τὰ τοῦ ἡμετέρου οἴκου ἐρείπια κατίδοιμι. πολλὸν δὲ χρόνον ζήτησιν μάτην ἐποιεόμην· πρὶν δὲ καὶ ἀπιέναι, κεφαλὴν ἀνθρωπηΐην εὑρίσκω, μέγεθος τῇ τοῦ πατρὸς κεφαλῇ ἐοῦσαν προσεικέλην, πέριξ δὲ τὴν κεφαλὴν ὀστέα φθίνοντα μὲν καὶ σηπόμενα, οὐδέ κω παντελέως ἀφανισθέντα. τότε δή, δείματι πλησθείς, ὡς ἠδυνάμην τάχιστα, ἐκ πόλιος ἐξήϊσσον· οὐδέ τοι τῆς ἀπ' ἡμέρης οὕτω κατέλιπον, ὀπίσω ἐλήλυθα. τοιαῦτα ἐν Ἱεροσολυμοῖς ἔτυχον παθών. ἐπεὶ δὲ κατέλιπον τὴν χώρην καί, καθὰ πρὸ τοῦ, ὡδοιπόρεον, μετὰ πολλὰς πλάνας ὑμῖν συντυγχάνω. τοίγαρ εὐμενείην τε καὶ φιλίην ἀπ' ὑμέων προσδοκέω μοι γενήσεσθαι. ἡμεῖς γὰρ αἰεὶ ἀκοῇ πυνθανόμεθα τὴν τῶν Κελτῶν εὐνοίην ὅσηπέρ ἐστι. τοιαῦτ' εἴπας ὁ Καρτάφιλος τοῦ λόγου ἐπαύσατο. ὁ δὲ δῆμος ὁ ἐκ τῆς πόλιος, συναλισθεὶς ἐς χωρίον ἐν τῷ κατεστήκεε, χερσὶ ἅπτετο τοῦ φάρεος καὶ τῶν ποδῶν, μόγις νομίζων ἄνθρωπόν μιν εἶναι. ἐπεί τε δὲ ἁψάμενοι τὴν ἀληθηΐην σαφηνέως εἶχον, ἅτε ἀνθρώπῳ ἀλλ' οὐ θεῷ δαιτὸς μέλοντος, οὕτω δὴ ἄγον μιν ἐς τὸ ἑωυτῶν πρυτανήϊον, ὡς εὐωχήσοντες. ὁ δέ σφι, θείῃ τύχῃ χρεώμενος, ἐξαπίνης ἀφανίζεται. λέγουσι δέ μιν οἱ περὶ τουτέων